Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-176743-p0001-9

XI, 49.

4) 335 *

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-176743-p0002-5

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-176743-p0003-0




Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-176743-p0004-6

# MONIMENTVM
AMORIS
OPTIMAE NVNC DESIDERATISSIMAE
CONIVGI
# SVSANNAE IACOBAEAE
NATAE **MOEHLERIAE**
D. XX. IAN. A. R. S. M. DCC. LXX.
REBVS HVMANIS EREPTAE
PIA MENTE
POSITVM
A
MOESTISSIMO VIDVO
**IOANNE HENRICO HELLBACHIO.**

---

DRESDAE,
EX OFFICINA VIDVAE HARPETERIANAE
TYPOGRAPHICA.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-176743-p0005-2

BIBLIOTHECA
PONICKAVIANA



F.A. Schneyder. del. F.G. Schlitterlau Sc.

# Ὦ ΦΙΛΕ ἈΛΗΘΕΣΤΑΤΕ.

Ἐν νεαρῇ μνήμῃ σχέισεις ἀρχαῖον ἄκουσμα,
Ὅττι νόημα βέβαιον, ἐν Ἄλκαρι Παμμεδέοντος,
Δῆτα λέληφα, συνάπτειν συζυγίην ἀγαπητὴν,

Καὶ τελέως τετύχηκα, σὺν εὐχωλῇ θεοτερπεῖ,
Ἐιν Θρέθῃ, βελτίςην Παρθένον ἡμὲν ἀγάπην,
Καίπερ, ἐκ ἡλικίης πρώτης, ὡς οἶδας ἄριςα,
Ἐιν ςυγοδέμνῳ νῷ, πράττειν βίον ἥσυχον, εἶχον,
Ἐμμενέως τε καλὸν σκοπὸν ἔλλαβον, ἐιν κραδίῃ μȣ,
Ποιεῖϑαι γάμον, ἐιν εἰκάιῳ μήποτε κόσμῳ,
Καὶ διαμίμνειν τοι μόνον, ἄχρι βίοιο τελευτῆς,
Ἠδὲ Θεῷ δȣλεύειν ὑψιμέδοντι ταπεινῶς,
Λατρεύειν πιςῶς Ἄρχοντι σεβαςοτάτῳ μȣ,
Φραδμοσύναισί τε, μέχρι τέλȣς ζωῆς, ἐπικύπτειν·
Θνητὸς ἀνὴρ προορίζει, καὶ Θεὸς εὖ διατάττει,
Ὡς μεμαθήκαμεν ἡμεῖς πλειςάκις, ἐξ ἀπορέιης·
Τȣ̃τον θεσμὸν ἐπήνεκας ἔσχατον, ἤτορι λώςῳ,
Ἠμὲν ἔδειξας ἐμοὶ ταχέως Σὸν χάρμα δίκαιον,
Ἠδὲ δεδήλωκας συνετῶς, Σύζευξιν ὑπάρχειν
Οἶμον ἄριςον ἀληθῶς, πρὸς βίον ἄισιον αἰεὶ,
Παμπόλλοις παρὰ Δήμοις, ἐιν κόσμῳ, Φρονίμοισι·

Καὶ

Καὶ παρά μοι παμπήδην, εὐφροσύνῃ ξὺν ἀγητῇ,
Ἔννοον ἔγνων αὐτίκα δέξην ΣΟΙΟ, θέμεθλον
Ἔμπεδον ἴσχειν, καὶ γεν ὀυκ απόρημα παρεῖναι.

Ὦ ΦΙΛΕ ΦΕΡΤΑΤΕ νῦν, ὀδύνῃ χαλεπῇ, δέ με ποιεῖν
Χρὴ ΣΟΙ μνήμην σήμερον ἄσκοπον ἠμὲν ἄελπτον,
ΣΥΖΥΓΟΝ ὡς ἤνεγκεν ἈΓΗΤΗΝ πότμος ἀδευκής,
Ἐκ δολερῆς προπετέιης, ἐιν σφριγανοῖς ἐνιαυτοῖς.
Καὶ χρῆν, ἐξ ἀλγήματος ἐνδέιν, μὲ θεωρεῖν,
Ἐιν χηρέτῃ λυγρῇ, καὶ κατέχω δύναμιν νῦν
Μηδεμίην, ἱκανῶς διατάττειν πότμον ἄωρον.
Αἱ με ταλαίπωρον, Κόσμημα φαεινὸν ἐμοῖο
Ὄφλω, χωρὶς πταίσματος, ἤδη γεν ἀποβάλλειν.
Ὤιμοι, ΠΙΣΤΟΤΑΤΗ θνήσκει ΠΑΡΑΚΟΙΤΙΣ ἐμοῖο,
Φεῦ, φεῦ, μόρσιμον ἄσχετον ἠμὲν ἀμέιλιχόν ἐστι.
ΣΟΥΣΑΝΝΗ μου νῦν βιοτὴν ἐπέρηνεν ἱμερτὴν,
ἈΙΔΗΜΩΝ ἉΥΤΗ καὶ ΚΑΛΛΙΣΤΗ, πολύθεστος

Σκίμπων ἦν ἐτύμως, ἐιν δεινῷ γήρατι μοῖο·
Καὶ τέλος οὐδὲν ἔχει μὴν ἤτορος ἄλγος ἐκεῖνο,
Καὶ μέλλουσιν ἀπαύστως δάκρυα θερμὰ λιβάζειν,
Ταῦτα φυὴ καὶ πάντως ἐξαιτοῦσι καθῆκον,
Ἠμὲν ἀκιδνὰ πέλουσι δικαίως ὄμματα μοῖο,
Κεῖνται γοῦν ἐνὶ δικτυδίοισιν ἐκεῖνα κελαινοῖς,
Χεῖρες ἀτάρ μου καὶ πόδες ἄρ τρομέουσιν ἀλείπτως,
Ἐξ ἀχθηδόνος ἀτλήτου στήθους ἀτόνοιο,
Ἠδὲ νέει κραδίη μου μὴν, ἐιν αἵματι θερμῷ,
Ἠμὲν ἅπαντα νοήματα μοῖο πέλουσιν, ἐν ὀρφναῖς,
Καὶ νεφέλαι ζοφεραὶ μνήμην κυκλοῦσι παλαιὴν,
Ἠμὲν, ἄνευ ἐλπίσματος, ὄντως νοῦς ἐμός ἐστιν.

Εὔχαρις ἦν Σύζευξις ἁμῶν χρονίη, διὰ παντὸς,
Καὶ συνεχὴς Σύμπνοια νόων ἡμῶν ἀμύθητος·
Ἣν πόνον εἶχον ἐγὼ πολὺν, ἤην ἠδὲ κοπώδης,
Ἠμὲν, ἐμὴν παρὰ ΣΟΥΣΑΝΝΗΝ, ἂυ ἧκον, ἈΓΑΥΗΝ

Ἀβροσύνην ἐθεώρεον, ἐν ἄλλοισιν ἘΚΕΙΝΗΣ,
Ἁγνὴν, ἠδὲ φιλήματα μείλιχα πάμπαν ἐποίει·
Μόχθον ἐμοῦ γλυκερὸν καὶ ῥᾴδιον, ἐν βιοτῇ μου,
Ἦμεν ἄοκνον ἔσωζε νόον, φιλότητι ποθεινῇ·
Αἰβοῖ, ΣΟΥΣΑΝΝΗ ΚΑΘΑΡΗ τέθνηκεν ἀέλπτως,
Παντοίων ἀρετῶν ᾗ μεστὸν Στῆθος ἙΑΥΤΗΣ,
Εὐσεβίης ἈΥΤΗ παράδειγμα πέλεσκε τελῆεν,
Ἠδὲ Θεοφροσύνην ἈΥΤΗΣ γοῦν οἶδεν ἕκαστος·
Εἶτα βέβηκε πόδεσσι θοοῖς, εἰς δῶμα Θεοῖο,
Ἐν ᾧ, χαρμοσύνῃ τελέῃ, βιοδώτερα μῦθον,
Χριστιανοῖς σὺν παμπόλλοις, νενόηκεν ἘΚΕΙΝΗ,
Καὶ, πρὸς τούτου θεσμοῦ, πολλάκις οὐκ ἐδύναντο
Χειμασίαι διάγειν μὴν ἠδὲ νοσήματα μικρά·
Ἦμεν, ἄνευ διαλείμματος, οἴκοι Βιβλία θεῖα
Πέφρακε, καὶ λιπαρῶς πεφίληκε θεηγόρον ὀμφὴν,
Ἠδὲ δεήματα πέπραχε, σὺν πινυτῇ φρενὶ, δεκτὰ,
Καὶ, πρὸς παγγενέτην Θεὸν εὖγε πέπεμφεν ἀρίστας

Εὐχω-

Ἐυχωλὰς, περὶ πάντων ἀνθρώπων, ἐνὶ κόσμῳ·
Πάντοτε καὶ Θεὸν ὕψιϛον θεράπευσε ταπεινῶς,
Ἀιὲι Χριϛὸν ἐδόξασε, μέχρι τέλȣς βιοτέιης,
Ὤκεεν ἀτρεκὲς, ἐιν νῷ ΚΕΙΝΗΣ, Πνεῦμα Θεοῖο·
Ἔιτεν ἀνάϛασιν ἠδὲ σαφῶς μερόπων κρίσιν ὄιδε,
Καὶ, διὰ Λυτρωτȣ͂, ζωὴν αἰώνιον, ὀρθοῦ,
Ἤλπικεν, ἐκ ϛαθερῆς διανόιης, πρὸς νεότητος·
Καὶ κομιδῇ, ϛήθει γανυρῷ, πίϛευσεν ἘΚΕΙΝΗ
Ὅττι, καλȣ͂ πρὸς Χριϛιανισμȣ͂ καὶ παναληθȣ͂ς,
Ἐιν χρονικῇ ζωῇ, νῦν κλῆρον ἄριϛον ἐπεῖχε,
Καὶ, πρὸς Ἰησȣ͂ Χριϛȣ͂ πάντως ἅιματος ἁγνȣ͂,
Ἀνθρώπȣς ὅτε Φοιβάζει, πρὸς πτάισματος ὅυλȣ,
Ἐιν ταύτῃ κτᾶται γάιῃ νῦν Ἔνδιον ἄϛρων·
Πρὸς Χριϛȣ͂, χώριζέ τε τόινυν μηδὲν ἘΚΕΙΝΗΝ,
Ἠμὲν ἔμεινεν ἀεὶ πιϛὴ Σωτῆρι σεβαϛῷ,
Ἐιν πάντεσσι γένεσσιν ἀδημονιῶν, ἐνὶ κόσμῳ·
Ἐιν ἀδέλῳ συχνῶς κραδίῃ τε σέσωκεν Ἰησȣ͂ν,

Παυ-

Παυσωλὴν ἔσχηκεν, ἐν ἤτορι, γοῦν ΜΑΚΑΡΙΤΙΣ
Στεῤῥὴν, πρὸς τούτου μερόπων Σωτῆρος ἁπάντων,
Ὃν Θησαυρὸν μηδεὶς ἀνθρώπων μεγαλεῖον
Οὐκ ἔσχηκε δὲ ῥώμην, ἐκ στέρνοιο, συλεύειν·
Ἄχραντον ψυχὴν, ἐτεῷ ξὺν ἀγάσματι, ΚΕΙΝΗ,
Εἰς Χριστοῦ Θαυμαστοῦ Τρώματα σεπτὰ τέθηκεν,
ΑΥΤΗ καὶ διὸ, νῷ γαλερῷ, νενίκηκε τελείως·
Ἔπλε δόλου καὶ θην ἀστεμφὴς ψεύδεος Ἐχθρὰ,
Ἡμὲν ἑταιρείας συμπάντων ἔσκε συνήθης
Ἀνθρώπων σφαλερῶν οὕτως ἀποφεύγειν·
Κοσμιότητος ἔην ἀγαθῆς τε Φίλη παναληθὴς,
Εὐδοκίμους οὕτως ἀνθρώπους, ἤτορι φαιδρῷ,
Εὖ, εἰν κοινωνήμασιν αἰὲν ἑώρακεν ΑΥΤΗ·
Εἴν τε πονηρῇ διστυχίῃ σάφα μήποτε Δειλὴ,
Αὐτὰρ, ἐν εὐτυχίῃ Πυκινόφρων ἠδὲ Γαληνὴ,
Πάντα γένη τερπωλῶν τούτου φαύλισε κόσμου·
Καὶ πάντεσσι πενιχροῖς δῶρα δέδωκε διαρκῶς,

Καὶ, διὰ τοιαύτης ἴσχει θησαυρὸν ἄσηπτον
Μὴν εὐεργεσίης ΚΕΙΝΗ, ζαθέοις ἐνὶ κόλποις·
Καὶ, ξὺν δυστήνοις, ἔσχηκε πολύστονον οἶκτον,
Καὶ στερεὸς σκοπὸς ἈΥΤΗΣ ἦν, θνητοῖσιν ἀνόλβοις
Ὄντως, ἐκ στήθους αἰεὶ χρηστοῖο, βοηθεῖν,
Καὶ, περὶ τοιούτου χαλεποῦ μελεδήματος ἈΥΤΗΣ,
Κεῖται ΚΕΙΝΗ γοῦν, ἐνὶ κόλποις Ἀβραὰμ ἁγνοῖς,
Νωλεμέως, σὺν ἀδείῃ παυσωλῇ τε ποθεινῇ·
ΤΑΥΤΗΝ καὶ διόπερ πεφιλήκασιν ἔμφρονες Ἄνδρες,
Καὶ συγερῶς ἤδη θρήνουσιν ὄλεθρον ἘΚΕΙΝΗΣ,
Ἡμὲν ἑκάστη δακρυχέει, διὰ τοῦτον, ὀπωπή·
Ἀχθηδὼν οὐ συγχωρεῖ μεγάλη διανοίης,
Νῦν ἀρετῶν σύμπαντα γένη ΚΕΙΝΗΣ ἀγορεύειν,
ἈΥΤΟΣ ταύτας γνωρίζεις ἀρετὰς περιέργως·
Γέγραφας οὐκοῦν, πρός με, σὺν ἤτορι πολλάκι τερπνῷ,
Ἀτρεκέως ἀρετῶν στεροπὴν ἈΥΤΗΣ ἀκίχητον,
Ἠμὲν ἘΚΕΙΝΗΝ παρθενικῶν μὴν ἔμμεν ἈΡΙΣΤΗΝ,

Πρὸς κορυφὴν ὑψηλὴν καὶ θὴν ἔυχεος ἥξειν,
Ἠδὲ διάμπαξ μίμνειν κόσμιον Ὄυνομα ΚΕΙΝΗΣ·
Ἐι καὶ ΣΟΥΣΑΝΝΗΣ ΚΥΔΡΗΣ ἤην παρακόιτης,
Ἀυτὰρ ὅμως ἐμὲ δεῖ γνώμην ΣΟΥ σφόδρα καταινεῖν,
Καὶ φρόνιμοι σώσεσιν ἐκέινην Ἄνδρες ἅπαντες
Δόξην ἄρδην, ςήθεσιν ἐιν ἀκάκοισιν ἑαυτῶν.

ΣΟΥΣΑΝΝΗ ΠΟΛΥΑΙΝΟΣ ἐμȣ̃ πεφίληκεν ἀπάυςως,
Ἐξ ὅυλης ψυχῆς, ἐμὲ καὶ νὴ ςήθεος ὅυλȣ,
Καὶ γλυκύτης διανόιης ἈΥΤΗΣ ἦν ἀπόλεκτος,
Ἔιχε βαρεῖαν ἀεὶ, διὰ ῥῶσιν ἐμοῖο, μερίμνην,
Ἦν τε ΛΥΠΗΡΗ, πικραῖς ἐιν νȣ́σοισιν ἐμοῖο,
Πάμπανυ καὶ μοι, σώφρονος ἐξ ἀγάπης, ἐβοήθει·
Καὶ, τȣ́τȣ χάριν, ἈΥΤΗ φάρμακα μητιόεντα.
Προφρονέως, κατὰ τάξιν Ἰατρȣ̃, μοὶ παρέδωκε,
Σῖτον καὶ ποτὸν, ἐιν νόυσοις, ἐκ χειρὸς ἘΚΕΙΝΗΣ
Λεπταλέης, ἐδέησε λαβεῖν ἐμὲ, μὴν κακὸν ὀυδὲν

Ὡς ὤφειλε διαμπερὲς, εἰς δέμας ἔκμελον, ἥκειν·
Ἠμὲν ἔβη, καιρῷ νυκτὸς, πρὸς λέκτρον ἐμοῖο,
ΣΟΥΣΑΝΝΗ ΠΕΡΙΑΛΓΗΣ, σὺν γλώσσῃ δὲ σιγηρῇ,
Ἤτασεν ὕπνον ἐμῦ καὶ λοιπὰ κινήματα μοῖο,
Καὶ μετέπειτα, σαοφροσύνῃ γνωςῇ, Θεραπευτῇ
Ἔννεπε ΚΕΙΝΗ νουσαλέον μυ πῆμα περισσῶς,
Ὄφρα δύνηται βέλτερα φάρμακά μοι διατάττειν·
Ἠμὲν ἐγὼ νυνὶ μίμνω μῦνος, ἄνευ ἐπαρωγῆς,
Καὶ πράττειν ἐμὲ δεῖ βιοτὴν, εἰς λοιπὸν, ἐρήμην·
Ἀλλὰ τιμῇ ΚΕΙΝΗΝ ἤγαλλον ἀεὶ πολυφεγγεῖ,
Οὕλως ἠμὲν ἐτήτυμος ΑΥΤΗΣ ἔσκον ἀρηγών·
Εἶτεν ἔβαινον, ἄνευ ΑΥΤΗΣ, ἐκ δώματος ἡμῶν,
Μήποτε, καὶ μόνον ἦν συμπράττειν χρῆν με καθῆκον,
Ἐκ πόλεως ταύτης ὁδὸν οὐ μόνος ἔλλαβον ὄντως,
Ἠμὲν ἐπισκέπτεσθαι μὴ τόλμησα φίλυς μυ,
Χωρὶς ΕΚΕΙΝΗΣ, εἰν δεσμοῖς γαμικοῖσιν ἐμοῖο,
Ἠμὲν ἐναντίον ἦν τερπωλή μυ πολυγηθής,

Εἴςγε

Ἔισγε ΣΥΝΕΥΝΟΝ ἈΡΙΣΤΟΝΟΟΝ μȣ δὴ παραμίμνειν,
Ἠμὲν ἀρέσκȣς, ἐιν ἡμῖν, ἴσχειν ἑαρισμȣ̀ς,
Ἠδὲ λέγειν βίβλȣς, χωρὶς διαλείμματος, ἐθλάς.

Θὴν ἘΜΠΕΙΡΟΤΑΤΟΥ ΤΡΙΛΛΕΙΡΟΥ γράμμασι πᾶσι
Γερμανικοῖσιν, ἐν ἡσυχίῃ, κεχάρηκεν ἘΚΕΙΝΗ,
Ἠδὲ λόγȣς πολλȣ̀ς, ἐις μνήμην, γέγραφεν ἈΥΤΗΣ·
Ἄνδρας χρὴ προνόȣς πιςῶς Θεὸν ἄμβροτον αἰτεῖν,
ΠΑΝΣΟΦΟΝ ὡς ΤΡΙΛΛΕΙΡΟΝ Ἄνȣσον αἐὶ διατηρῇ,
Ἠδὲ Νόȣ τελέως καὶ Σώματος ἰσχὺν ἀνάυξῃ,
Ἠδὲ διδῷ πρᾴως ἐνιαυτȣ̀ς Νέςορος ἈΥΤΩι,
Ὄφρα δύνηται παμπόλλȣς Μȣσῶν Θεράποντας
Φαιδρῶς, ἐιν τέχναισιν ἐλευθερίαισι, διδάσκειν,
Καὶ νοσεροῖς ἀνθρώποις, σὺν βȣλαῖσι, βοηθεῖν·
Ὦ ΦΙΛΕ ΛΩιΣΤΕ, νόησας ῥηϊδίως, διὰ φήμης,
Σκῆπτρον Ἀθήνης ὡς νέον ἔλλαβεν αὖθις ἘΚΕΙΝΟΣ,
Πρὸς Φοίβοιο, σὺν ἀῤῥήτοις ἀλαλάγμασι Μȣσῶν,

Ἐιν ςήθει τε καλῷ μȣ, χάρμα μέγιςον ἔπεῖχον·
Ἀυτὰρ, ΈΤΑΙΡΕ ΦΕΡΙΣΤΕ, σαφῶς ὄιδας, διὰ βίβλων,
Ὡς σμικρȣ̃ καιροῖο Κυβερνήτης ἀπολάυῃ,
Ὄφρα δύνηται ςῆθος ἀνακτίζειν καματηρόν·
Ἔςι περιπληθὴς τάραχος, διὰ παντὸς, ἐν ὄικῳ,
Ἠμὲν ἀκέει Πηδαλιȣ̃χος ἐρίσματα πολλά·
Ἐκ ςόματος Φρονίμȣ Κικέρων Φιλόπατρις ἔειπε·
Χρὴ, περὶ κοινῶν, ἔυ ἱδρώειν Πηδαλιȣ̃χον·
Ἠμὲν ἔπει τελέθει, πρὸς Σκήπτρȣ, κῦρος ἄμεμπτον,
Ἀρχόντων γȣ̃ν ὑψινεφὴς Θεὸς Ἄιτιός ἐςι,
Καὶ τȣ́τȣς, ἀπὸ πήματος ὄυλȣ, σφόδρα φυλάττει,
Ἠδὲ Κυβερνήτας Μȣσῶν σώȣς διασώζει·
Ὀυ δὲ Νέρων ἥκειν ὄφλει, ξὺν ἑαῖσι μαχάιραις,
Ἠδὲ Τύραννοι πάντες ἀπεῖναι τῆλε δύνανται,
Ὃι μιαρῶς ὑποταττομένȣς ςρεβλȣ̃σιν ἀθώȣς,
Ἔφρασαν Ἱςορικοὶ λόγιοι λιπαρῶς, περὶ κείνων,
Ὥςε Τυράννȣς τόιȣς ἄρτι, σιγῇ, παραλείπω·

Ἀλλὰ

Ἀλλὰ σαοφροσύνη κλεινὴ μόνον ἔνθα κυβερνᾷ,
Καὶ φρενοθελγὴς εὐδικίη δήπȣ παραμίμνει·
Καὶ σπȣδαίων κῆρ ἐμὸν εὐχῶν ἔγκυόν ἐςιν,
Ἅςγε χαμερπῶς πέμπω, πρὸς Θεὸν ὑψιγένεθλον,
Ἄρτιος ὄφρα κυβερνᾷ ΤΡΙΛΛΕΙΡΟΣ ΠΕΡΙΛΑΜΠΗΣ,
Ἠδὲ διδῶ, πρὸς φραδμοσύνης, βȣλεύματα πυκνά,
Πρὸς Μȣσῶν Θεραπόντων σύμφερον ἠδὲ μὲν ὄλβον·
Ὄντως μηδενὶ Μȣσῶν δυσχρήςημα δέδωκεν,
Ἀυτὰρ σπȣδαίως διέσωσεν ἘΚΕΙΝΟΣ ἕκαςον·
Θαύμασαν ἠμὲν ἘΚΕΙΝΟΥ Νȣ̃ν εὔδοξον ἅπαντες,
Ἠδὲ περίφρονες εὐχωλὰς ποιȣ̃σιν ἀπαύςȣς,
Ὡς συντηρῇ Σκῆπτρον ἀεὶ Φοιβήϊον ἈΥΤΟΣ,
Δέυτερος ὅττι πέλει ΤΙΦΥΣ, θαλεραῖς παρὰ Μȣ́σαις·
Δὴ δύνασαι πιςέυειν, Ὦ ΦΙΛΕ μȣ ΠΟΛΥΔΟΞΕ,
Ὡς ἝΝΑ μένως, ἐιν Πάτρῃ, ΤΡΙΛΛΕΙΡΟΝ ἘΠΑΙΝΟΝ
Ἴσχομεν ἡμεῖς, καὶ, λυγρὸν μετὰ πότμον ἘΚΕΙΝΟΥ,
Ὃς καταμίμνειν ὄφλει παμπόλλȣς ἐνιαυτȣ̃ς,

ΤΡΙΛΛΕΙΡΟΣ, πρὸς Μέσαις, μὴν οὐδεὶς ἀνακάμψει·
Ἐιν Θώκῳ Μεσῶν, μίμνοι σάφα παῦσις ἀρεςὴ,
Καὶ φεύγοιεν ἅπαντα γένη κακιῶν, παρὰ Κείνων·
ἈΥΤΟΣ ἐσεῖται πάντως ἀςυφέλικτον Ἔρεισμα
Ἐλλογίμȣ Πολιτέιης, παμπόλλῳ ξὺν ἐπαίνῳ,
Καὶ ζήσει ΤΡΙΛΛΕΙΡΟΥ πότνιον Ὄυνομα ΚΕΔΝΟΥ,
Ἠδὲ σὺν Ἱπποκράτῃ, βλαπτικὸν εἰς λάθος, ἥξει
Μήποτε ΚΕΙΝΟΣ, ἐν ἀνθρωπέιοις ἐνθάδε καιροῖς·
Καὶ μεγαλεῖον ἘΚΕΙΝΟΥ Κῦδος μὴ διαπίπτοι,
Τȣ̃το δὲ, Γερμανίην εἰς ὅυλην, εἰς τάχος, ἥκοι,
Ἠμὲν, ἐς Ἐυρώπην, ξενικȣ̀ς τε τόπȣς περιλόιπȣς.

Λοιπὸν, ἐν ἑλλάδι καὶ ῥωμαίῃ τηνίκα φωνῇ,
ΣΟΥΣΑΝΝΗ με μάνθανε, δεξιότητι τελέιῃ,
Ὀυκ ὀλίγȣς γε λόγȣς, ὅυς, γηθοσύνῃ μεγάλῃ μȣ,
Ὄιδε, φίλοις πρὸς ἑραςοῖς, ἐυκαίρως ἀγορέυειν·
Ἀυτὰρ ΣΟΥΣΑΝΝΗ μȣ δὴ παρέδωκε ΣΑΟΦΡΩΝ

Λήθῃ

Λήθῃ μήποτε παρθενικὲς καμάτȣς μάλα κομψὲς,
Ἐιν τȣ̃τοισί τε δεξιότητα κατεῖχεν ἀληθῆ,
Καὶ γὰρ ἐπόιȣν χεῖρες ἙΑΥΤΗΣ αἰὲν ἅπαντα,
Ὅσσα θεωρεῖν Ὄμματα ΚΕΙΝΗΣ ἐ̃υ ἐδύναντο,
Σφοδρῶς ἠδὲ τιμȣ̃χος ἕκαςος ἐθάυμασεν ἈΥΤΗΝ·
Καὶ, διὰ τȣ̃το, δέδειχεν ἘΚΕΙΝΗ μήποτε κόμπον,
Ἀλλὰ Γαληνὴ Σωφρονικὴ τε πέλεσκε βεβάιως·
Ἔιτεν Ἑτάιρȣς μȣ, χωρὶς βȣλήματος ἈΥΤΗΣ,
Μήποτὲ θην κέκληκα καλὲς, πρὸς τερπνὸν ἄριςον,
Ὀυ γὰρ ἔτευχον, ἄνευ τελέοιο νοήματος ἈΥΤΗΣ,
Ἔργματα, καὶ νενόηκα παραυτίκα μήδεα ΚΕΙΝΗΣ·
Καὶ, πρὸς ὑγέιην ἈΥΤΗΣ ἀργαλέας μελεδῶνας
Ἐνδελεχῶς καὶ τοιάυτην ἔσχηκα φυλάττειν·
Καὶ, πυκνοῖς ἐιν ἀῤῥωςήμασι, χερσὶν ἘΚΕΙΝΗΝ
Ἀιὲν ἐμαῖσιν ἀγήοχα, σὺν φρενὶ μὴν πολυπίςῳ,
Ἠμὲν ἐγὼ μεμένηκα φίλως, παρὰ λέκτρον ἘΚΕΙΝΗΣ,
Ῥίμφα βοηθέιην δυνατήν τε παρεῖχον ἘΚΕΙΝΗ,

Καὶ παντέιως αἰὲν ἐφάυλισα νύκτας ἀΰπνες·
Ἡδὲ θέλησις ἀληθὴς ἥην, χωρὶς ἀλυσμε͂,
Ζωήν με, πρὸ ΦΙΛΗΣ μν ΘΕΙΗΤΗΣ, ἀποβάλλειν,
Ἤ, ξὺν ἘΚΕΙΝΗι, θνήσκειν, πρὸς βέλημα Θεοῖο,
Ἄμμιγα, καὶ καταπάυειν, ἐιν ἐνὶ θήματι λιμβρῷ,
Ἥν ἔτυμον γνώμην με πλειςάκις ἔιπον ἘΚΕΙΝΗι·
Ἐιν βιοτῇ διό με μὴν πτάισματα μήποτε ποιῶ,
Ἣν, περὶ ΣΟΥΣΑΝΝΗΣ με, δάκρυα πιςὰ ΠΑΝΑΓΝΟΥ,
Ἀιὲν, ἕως ἀδιαδράςε θανάτοιο δίδωμι·
Φεῦ, ἐμὸν, ἐιν ἄλγει πανδέινῳ, κῆρ διαμίμνει,
Ἡμὲν, ἐς αἰσχρὴν ἥξει λήθην, ὄυποτε ΚΕΙΝΗ.

Ἔλλαβον, ἐιν δυςλήτῳ ςήθεϊ, πίςιν ἘΤΑΙΡΕ
ΠΟΤΝΙΕ, δεκτὴν, ἔιναι κλαυθμὲς μοῖο δικάιες,
Ἡμὲν ἐπαινεῖν μέλλεις, ἐκ θυμε͂ γλυκεροῖο,
Τέτες, καὶ ξὺν ἐμοὶ σπλάγχνον σχήσεις πανόδυρτον,
Καὶ κομιδῇ ξυγκλάυσεις, ἐκ ςέρνε μαλακοῖο·

Ἀσφα-

Ἀσφαλέως ἴσχω, ΦΙΛΕ μȣ ΚΑΛΕ, θάρσος ἄσειςον,
Ὅττι πονήσεις κȣφίζειν μὲν ὀδυρμὸν ἀτηρὸν,
Ἠδὲ φίλως ἀλγεινὸν ςῆθος ἐμοῖο γαληνȣ̃ν,
Ὀυ δὲ θεωρέισεις με καθὼς ἀμετάςατον ἄνδρα,
Ἠμὲν ἐμῶς διασώσεις Σὴν φιλότητα παλαιὴν,
Ἣν ἀκολουθεῖν ὀυ δύναμαι βȣλέυμασι ΣΟΙΟ
Σφόδρα σοφοῖς νῦν, ἐιν ςυφρῷ μελεδήματι μοῖο·
Καὶ ΦΙΛΕ ΚΥΔΝΕ, ΣΕ θην αἰτῶ, μόιρην ἐλοφυδνὴν
Σταθμίζειν βραχέως, σὺν γνώμῃ Σῇ πολυδόξῳ,
Ἠμὲν ἐπεὶ παμπήδην ἄχθος ἄφυκτον ἐμοῖο,
Δὴ μέλλεις συνεπαινεῖν, λευκῆς ἐκ διανόιης·
Ἐιν ςέρνῳ μȣ γȣ̃ν ἔλπισμα μελιχρὸν ὑπάρχει,
Ὅττι ΣΥ ποιήσεις, σὺν πρόφρονι λήματι, τȣ̃το·
Γȣ̃ν ἐδίδαξε ΣΕΑΥΤΟΝ ἄδην πέιρη πολυπήμων,
Ὅττι νομίζεθαι βλάβος ὀυ δύναται μέγα ΣΟΙΟ,
Ἐξ Ἀλόχȣ πιςῆς ὃ Τεῆς κεν ἔπασχες ὀλέθρȣ·
Κέινην λησμοσύνῃ παραδώσεις μήποτε θωὴν,

Ἐν διανόιῃ, καὶ Δάμαρ Ἀυτὴ πωλεμὲς ἔςαι,
Ἄσχολον, ἐν ὕπνῳ λιαρῷ, καὶ πνεῦμα ΣΕΟΙΟ
Καρτερικῶς ἔσεται Γαμετὴν Ἀυτὴν παρὰ νεκρήν·
Ὀυκ ἀνακαινίζειν ἐθέλω Σὸν τραῦμα παλαιὸν,
Καὶ περίλοιπα, σιωπῇ πρηέιᾳ, μεταβαίνειν·
Καὶ, πρὸς τȣ́τοις, γνωρίζεις, ἐν ἤτορι ΣΟΙΟ,
Ἀνθρώποις δυνατὸν θνητοῖς καὶ ῥᾴδιον ἔιναι
Παρφασίην πινυτὴν χήροις ςυγεροῖς παραδȣ̃ναι,
Ἀλλὰ βοηθεῖν, ἐν τάυταισι λύπαισιν, ἑαυτȣ̀ς,
Σφοδρῶς δύσκολον ἠμὲν ἀμήχανον ἐȣ̃ διαμίμνειν·
Ἡμεῖας δεῖ Θειολόγȣς κυδίμȣς τε θεωρεῖν,
Ὁι παρέχȣσι μὲν ἀνθρώποις πάντεσσιν ἀθύμοις
Θαλπωρὴν, ὀδυνηραῖς ἐν τόιαισιν ἀφορμαῖς,
Ἣν ἀποβάλλειν αὐτὰρ χρὴ, κατὰ πότμον, ἐκέινȣς
Πιςὰς Συγκόιτȣς, ἃς παντελέως ἐφίλησαν,
Ὄυτοι δυσθυμίην ςυγερὴν ἔχȣσιν ὁμόιως,
Ὡς, ἐν θυμῷ μȣ, τοιάυτην ἔλλαβον αὐτός·

Νημερ-

Νημερτὲς γεραροὶ Βασιλεῖς καὶ σώφρονες Ἀρχοὶ,
Χωρὶς τόιων θρήνων οὐχὶ μένουσι δικαίων,
Ἣν Ἀλέχους ἀρετῶν μεστὰς θαλπνῶν ἐτίμησαν
Αὐτῶν, ἡ μὲν ἀεὶ Ταύτας πεφιλήκασιν ἀβρῶς·
Ὥσπερ ἀκούομεν, ἔμφρονες οὕτως Ἄνδρες ἅπαντες,
Οἱ, παρὰ μόιραις ἄλλαις, ἡσυχίην διανόιης
Εὖ κατέχουσιν, ὁμαρτῇ καρτερίην τε τελέιην,
Συγκόιτων πιστῶν αὐτῶν θρηνοῦσιν ὀλέθρους
Πικρῶς, σὺν στυγνοῖσι νόοις, ἐιν γήρατι λυγρῷ,
Ἀῤῥώστους καὶ ξυμπτίσσουσι σὺν ὄμμασι χεῖρας
Ἀλγεινοῖς, ἣν ἀμφὶ γυναικῶν δύσμορος ἄπνων
Μνῆσις ὑπάρχει, καὶ διδόναι πάλιν οὐχὶ δύνανται
Ἡσυχίην στερεὴν ὀδυνηροῖς στήθεσιν αὐτῶν·
Καὶ Χῆροι φοιτᾶσί τινες συχνᾶς παρακόιτων
Νεκρῶν τύμβους, χοῦσιν ἐκεῖ καὶ δάκρυα πικρὰ,
Ἠδὲ διαπράττουσι δίκαια δεήματα Κεῖνοι,
Πρὸς Θεὸν ἄμβροτον, ἃυ ἥκουσιν ἔπειτα μὲν Αὐτοὶ,

Ἐις ὄικους γοερούς, σὺν δυσθυμίῃγε παλαιῇ·
Καί τινες Ἄνδρες ἔχουσιν ἀμυσχρὸι νήστιμον ἦμαρ
Μὴν, ἀνὰ πᾶν ἔτος, ἤματί τοι γαμετῶν θανάτοιο,
Ἀυτοῦ καὶ καιροῖο, κατακλέιουσιν Ἑαυτοὺς,
Ἐιν ὑποκαύστῳ, καὶ μίμνουσι δὲ, χωρὶς Ἑταίρων,
Καὶ κλέιουσι ταφὰς πάλιν, ἐιν πιστᾶις κραδίαισιν·
Ἠδὲ καθεξῆς πολλοὶ στηρίζουσιν ἐδράιως,
Σὺν στέρνοισι λίαν σκυθρωποῖς, Φράδμονες Ἄνδρες,
Ὡς Γαμετῶν ἐρατῶν κλάυσουσιν ἀεικέα πότμον
Ἐνθάδε πάμπαν, ἕως ἀναποδράστοιο τάφοιο,
Καὶ μέλλουσιν ἑταιρέιας θνητῶν διαφέυγειν·
Ἠμὲν, ἙΤΑΙΡΕ ΤΙΜΟΥΧΕ, λυπηρῶν πράγματα ταῦτα
Χήρων ὀυδεὶς ἀνδρῶν ὀυ δύναται διαβάλλειν,
Ἠμὲν ἕκαστος ἐπίφρων πολλῷ μᾶλλον ἐκεῖνα,
Ἐκ κραδίης δοκίμοιο, καταινεῖν πάντοτε μέλλει·
Γοῦν Θεὸς, ἐξ Ἀνδρὸς πλευρᾶς, μόρφωσε Γυναῖκα;
Καὶ μένη Πρωτοπλάστοιο πέλεσκεν Ἑταίρη,

Ἠδὲ

Ἠδὲ δύω θνητοὶ μεμενήκασιν, ἐιν Παραδείσῳ,
Ἐιτά τε πάντων ἀνθρώπων ἐγένοντο Τοκῆες·
Ὄιδαμεν ἐυδήλως, Παρακόιτην ἠδὲ Γυναῖκα,
Βίβλων ἐξ ἱερῶν καὶ θείων, ἓν κρέας ἐιναι,
Ἐιν νεαρῇ καὶ μνημοσύνῃ μὴν ἴσχομεν ἡμεῖς,
Ὡς Γαμέτης καταλέιψει δῆτα Γονῆας ἀμεμφεῖς
Καὶ μέλλει Γαμετῇ προσκεῖσθαι σύμφρονι πάντως·
Ἠδὲ δύνανται ῥήματα ταῦτα σάφως ἀποφάινειν,
Ὡς ἀγαπάζειν ἄμμες ὀφείλομεν ἄνδρες ἅπαντες
Ἐξ ὅυλου μένεος, στερεῶς Ἀλόχους ὁμοφώνους,
Ἠμὲν Ἐκείνας μήποτε λησμοσύνῃ παραδοῦναι,
Ἐιν νοῖς ἡμείων, πικρὴν μετὰ μοῖραν Ἑαυτῶν·
Πρὸς τούτοισιν, ἴσημι λέγειν ὑποδείγματα πολλὰ,
Ἐξ ὧν, ἡμᾶς χρὴ Γαμετὰς στέργειν τιμάειν τε,
Κῆρ ἐμὸν ἀσθενὲς ἀυτὰρ ἀπείργει νῦν ἐμὲ θεσμοῦ.

Ὥσπερ ἔδωκεν ἐμοί Τις Ἀνὴρ φρονιμώτατος ἐσθλὴν

Βουλείην,

Βȣλείην, ἐν ἐρημαίῃ ζωῇ, τολυπεύειν,

ΣΟΥΣΑΝΝΗΣ περὶ ΣΕΜΝΗΣ, Ἐγκατάλειμμα βέβαιον·

Οὕτω Τȣ̃το τέθεικα, σὺν αἰνῷ πένθεϊ θυμȣ̃,

Ἠμὲν Ἐκεῖνο μενεῖ, μνήμην εἰς ἔμπεδον ΑΥΤΗΣ·

Αἰσχύλον Εὐριπίδην τε μὲν ȣ̃ν Τραγικȣ̀ς βαθυδόξȣς,

Ἡρόδοτον Ξενοφῶντά τε, μειλιχίȣς τε Σοφιςὰς,

Ὡς Λȣκιάνον ἠδὲ Φιλόςρατον αὖθις ἔλεξα,

Εὐ ἀπελαύνειν ὥρας λυγρὰς μοῖο παρȣ́σας,

Ἠδὲ διασκορπίζειν ὄβριμον ἄχθος ἐμοῖο·

Καὶ, μετὰ ταῦτα, νομίζω, φαύλως ȣ̓κ ἐμὲ ποιεῖν,

Ἢν ΦΙΛΕ μȣ ΓΕΝΝΑΙΕ, λόγοις ὀλίγοις, ἀγορεύσω,

Εἴνγε τόπῳ τȣ́τῳ, περὶ θεσμῶν, ἀμφὶ τιμȣ́χȣς

Χριςιανῶν ὁσίων ἀρχαίων ἐνταφιασμȣ̃ς·

Νῦν ἀποπέμπειν ΣΟΙ μέγα καὶ φιλοτήσιον ἔργον

Οὐ πέλεται διανόιῃ μȣ, θεσμῶν περὶ τȣ́των,

Ἐςὶ δὲ λῆσις ἐμȣ̃, τοῖον παρὰ καιρὸν, ἐκείνȣς

Ἐξαῦτις παρέχειν, εἰς μνήμην ΣΟΙΟ νεȣχμόν·

Ἔλλα-

Ἔλλαβες, ἐιν βίβλοισι σοφαῖσι, νόημα φαεννὸν,
Θρησκειῶν περὶ κείνων, σὺν Γρετσεῖρον, ἐπάνε
Ἄξιον, ἐυ ΣΥ κατεῖδες, ἐν ὥραις Σαῖς τρυφεραῖσιν,
Ἁρμοδίως τε συνῆκας Ὀνέφριον ἀγλαὸν ἈΥΤΟΣ,
Καὶ Φρανζείνιον ἐυφραδέως νοέεις ὀνομαςὸν,
Καὶ, πέρα τέτων, ἀλλόιες Γραπτῆρας ἔλεξας·
Ἀλλὰ μόνως ἐθέλω φράζειν, λογγῶν περὶ κείνων,
Ἀσπασμὲς δὲ, δεήματα, καὶ γεν ἤθεα λοιπὰ,
Νῦν, πρὸς ἀποθνησκόντων, ἐυβέλως μεταβάινω·
Χριςιανοὶ πολλοὶ καὶ πιςοὶ σώματα νεκρῶν
Ἤνεγκαν, κατὰ κοιμητήριον ἥσυχον αὐτῶν,
Ἀξιοτέκμαρτοί τε Θεωροὶ δῆτα παρῆσαν,
Οὗτοι πάντες ἔχευσαν ὁμαρτῇ δάκρυα θαλπνὰ,
Βάςασαν ἠδὲ φίλοι πενθήμονες ἕιματα λευκὰ
Ἠδὲ κελαινὰ, βέβαιον πρὸς καιρὸν, διὰ παντὸς,
Καὶ, πρὸς τέτῳ θεσμῷ, τάξιν σφόδρα φύλαξαν·
Ἠμὲν ἐπένθεν Ἀρχαῖοι καθάπαξ, ἐπὶ νεκροῖς,

Ἀμβρόσιός τε, σὺν ἄλλοίοισιν, ἐν ἐνταφιασμῷ
Γνωτῦ, δάκρυα μαλθακὰ πάμπαν ἔχευσε, φιλητῦ,
Δάκρυσεν ἠμὲν Ἰησῦς Λάζαρον ἄπνοον Αὐτός·
Εἶτα παλαιοὶ μνημείων ἐσχήκασι δήλυς
Θώκυς, καὶ νεκρὺς τιμίως εἰώθασι θάπτειν·
Ἔκτισαν ἠδὲ, τόποισιν ἐν ἄλλοις, σήματα λυγρὰ,
Ἐιν κήποις ἀμέλει καὶ σηκοῖς ἠμὲν ἐν ἀγροις·
Εἶν τε τιμῇ, διέσωσαν Ἀλλαιὸι θήματα πάντα,
Μήποτε καὶ μνημεῖα βεβηλῦν ὀυκ ἐθέλησαν·
Νυκτερινὰς φρυρὰς, παρὰ τύμβυς, εἶχον Ἐκεῖνοι,
Ἠδὲ δεήματα πεπληρώκασιν αὐτόθεν ἁπλᾶ·
Ὕςερον εἶχον μνημοσύνας νεκρῶν ἐπετείυς,
Ὃς τρόπος, ὡς φανερὸν πέλεται μὴν, ἔλλαβεν ἀρχὴν,
Ἐξ ἀγαθῦ καιρῦ Τερτυλλιάνοιο σεβαςῦ.
Καὶ, περὶ κηδειῶν Ἑβράιων ὕςερον ὀρθῶν,
Γέγραφεν αὐτάρκως Γειεῖρος ἐπαινετὸς αὐτὸς,
Καὶ Λευδεκκεῖρος πολύμητις πολλὰ δέδειχεν·

Ἠδὲ

Ἠδὲ, γόων περὶ πυκνῶν Ἑλλήνων πολυφήμων,
Θὴν σοφὸς Ἀισχύλος εὐρύθμως ἔπραξεν ἅπαντα,
Πόῤῥω Νικολάος καὶ Νάρδιος ἄρ περίοπτοι
Δῆτα πεφάγκασιν ἐξαρκέντως γνώμας ἑαυτῶν·
Καὶ, περὶ κηδειῶν, παρὰ Ῥωμάιοισι, παλαιῶν,
Ἔνδοξος σπουδῇ Κιρχμάννος ἀγήοχεν ὄντως,
Ἠδὲ Γοράλλος καὶ Γουθείριος, ἀξιέπαινοι,
Ἱςορίας παρεδώκασιν ὠφελίμους, περὶ τούτων·
Νῦν ἐμὲ δεῖ κατεπέιγειν, πρὸς πιςὸν Θεὸν, ἄψα,
Καὶ βουλῇ Κείνοιο διαμπερέως ὑποβάλλειν·

Ὦ ΘΕΕ μου Μεγαλουργὲ, χαρίσματος ἐξ ἀπελέθρου,
ΣΟΥΣΑΝΝΗΝ ΦΙΛΙΚΗΝ ςήθει μου πρόσθεν ἔδωκας,
Νῦν ἀτὰρ ἤρεκέ Σοι, μετὰ βουλὴν σφόδρα δικάιην,
Ἐις τάχος, ἀιρεῖν ΤΟΙΑΥΤΗΝ, ἐις Ἀιθέρος Ἀυλὴν,
Ἥνγε ΦΙΛΗΝ ἈΓΑΠΗΤΗΝ μου, παρὰ Σοι, διασώσεις,
Καὶ ΚΕΙΝΗΝ πάλιν ου δύναμαι, παρά Σου, κυριέυειν·

Ὦ ΠΑΤΕΡ οἴκτου χρὴν ἐμὲ, νῷ πολυπενθέϊ, φεύγειν,
Πρὸς χάριν εὔτονον, οὕνεκα θαλπωρὴν παναληθῆ
Εὖ Σὺ δύνῃ διδόναι μοι χήρῳ δὴ κακοπότμῳ,
Ἣν εὑρίσκειν ἀτρεκέως, παρὰ μηδενὶ, μέλλω·
Ὦ πανυπέρτατε ΠΟΙΜΗΝ, οἶδας, τραῦμα δαφοινὸν
Ἄψ ὑγιάζειν αἴφνης, ἐξ ἀλκῆς ἀπεράστου,
Εὐκαίρως βλάβος ἄῤῥητον μέλλεις ἀποδοῦναι,
Ἐκ χάριτος κρατερῆς, καὶ κλαυθμοὺς μοῖο μαλάττειν
Λυγροὺς, οὓς, ἐιν στήθει μου γοερῷ, σεσάλευκας·
Ἠμὲν ἀληθὲς ἔμοιγε παρήγορον ἐλπίδα δώσεις,
Ὡς ἸΑΚΩΒΑΙΗΝ μου ΠΙΣΤΗΝ ἠμὲν ἈΓΑΣΤΗΝ
Αὖθις ἐγὼ, παρά Σοι, λεύσω, φαιδραῖσιν ὀπωπαῖς,
Ἥν με καλεῖς χαριέντως, ἐκ κόσμου σφαλεροῖο.

Ὦ ΣΟΥΣΑΝΝΗ ΘΕΙΗ μοῖο σύνοιδα τελείως,
Ὡς καθαρὴν ψυχήν ΣΟΥ Σωτὴρ Ἔντιμος ἴσχει,
Ἐιν σφοδρῶς σεμναῖς δυσὶ χερσὶν ἐπισταδὸν Αὐτοῦ,

Ἠμὲν

Ἠμὲν ἐναργῶς τερπωλῆς θεϊκῆς ἀπολαύεις
Ἀμβροσίϰ πρὸς Ἰησϰ̃ Βλέμματος, ἠμὲν ἀμέτρου
Κοινωνήματος, ἐυτυχίην ταύτην γὰρ ἀληθῶς
ΣΟΙγε δεδώκασιν ὀρθὸν δεῖμα Θεοῦ παναρίςϰ,
Ἠδὲ θεοφροσύνη νημερτὴς, ἠμὲν ὁμοίως
Πίςις ἀκαμπὴς θην, ἐν ὅλῃ βιότητι ΣΕΟΙΟ·
Ἐιν Ὀυλύμπῳ μέλλεις ἄςρα φέροντι θεᾶσθαι
Ἡμετέρϰς γεραρὰς, αὐγαῖσι τοραῖσι, Τοκῆας,
Θεσπεσίων μεσάς τε χαρῶν συνόδϰς, σὺν Ἐκείνοις,
Ἐινὶ πόλῳ, φιλοτέκνοις σχήσεις, ὑψιμελάθρῳ,
Καὶ πολλοῖσι σὺν ἀχράντοισι Χοροῖσιν, ἀοιδὰς
Ὀυρανίας ποιήσετε λάυρως ὔμμες ἅπαντες·
Νωΐτέρϰς ἐς Ἀδελφὰς βλέψεις ἠμὲν Ἀδελφὰς
Ἠδὲ φίλϰς περιλόιπϰς, σὺν γλήναις ἐορέσσαις,
Ὃι τελέως ναίϰσιν ὑπέρτατα δώματα πάντες·
Ἠμὲν, ἄνευ διαλείμματος, ἐμφανίσϰσιν Ἐκεῖνοι,
Ἐιν λάμποντι θοώκῳ, καὶ λέξϰσι λιγείας

Μολπαῖς, κλεῖος ἐς ἄφθιτον ὑψητοῖο Θεοῖο·
Ἂυ εὑρήσεις ἠδὲ μεγήρατα Τεκνία ΣΟΙΟ,
Τερπνὸν Ἰωάννην Ἰακωβάιην ἁπαλήν τε,
Ἐιν αὐγάσματι καλλίςῳ καὶ δὴ μεγαλείῳ,
Ὀυρανίδαισί τε κεῖνοι Παῖδες ἔασσιν ὅμοιοι·
Ταῦτά τε Τεκνία ΣΟΙ χάριν εὖ σχήσεσιν ἐραννὴν,
ΣΗΣ μητρώης ἀμφὶ μερίμνης, ἣν ἐπέμεινες,
Ἐιν ζωῇ ΣΟΥ, πομπέυσεσί τε, χάρματι πολλῷ,
Ὅττι ΣΕ μὴν, ἐιν κόλποις αἰθερίοισιν, ὁρῶσιν,
Ἠδὲ δύνανται, ξύν ΣΟΙ, νῦν Θεὸν αἰὲν ἐπαινεῖν·
Καὶ ςεφάνην ἔκλαμπρον σχήσεις, ἐιν κεφαλῇ ΣΟΥ,
Ἠδὲ χαρὴν ἀμύθητον, ἐν ὀυρανίῳ Παραδείσῳ,
Ἐις αἰῶνα, σὺν Ὀυρανίδαις πάντεσσι καθέξεις·
Χαρμοσύνης ἤδη ςεναρῆς, ἐιν ἤτορι μοῖο,
Ἀιθάνομαι, ΣΕ θεωρεῖν ἆψ, πρὸ Θεοῖο καθεσμοῦ,
Καὶ, μετὰ ΣΟΙΟ, καταινεῖν ὑψόροφον Θεὸν ἡμῶν,
Θελξινόων τε νεῶν ἄτρεπτον θεσμὸν ἐρώτων·

Ἄμμιγα

Ἄμμιγα Παιδία καὶ περικαλλέα μοι καταδείξεις,
Ὄφρα δύνωμαι Ταῦτα φιλεῖν καὶ ναὶ περιβάλλειν,
Ἠμὲν ὁμοίως πολλάκι μακρολογεῖν, σὺν Ἐκείνοις,
Καὶ τότε λέξω ΣΟΙ δρόμον οὖλον ἐμοῖο βίοιο,
Ὅν, μετὰ ΣΟΝ παντοίως εἶχον ἄωρον ὄλεθρον.

ΓΝΗΣΙΕ νῦν ΦΙΛΕ με, ξὺν δάκρυσι μοῖο δικαίοις
Ἠμὲν ὀδυρμοῖς, καρτερίην ἕξεις ἐρατεινήν,
Καὶ δήπουθεν, ἄνευ ἀπορήματος, ἥσυχος ἔσσῃ,
Ὅττι, τελέιης ἐκ θεραπείης, νῦν ὑπέβαλλον
Θαυμασίῳ με χαρίσματι Πατρὸς ἐπουρανίοιο·
Ὕστερον Ὀικτίρμων, ἀπό ΣΟΥ, Θεὸς, εὖ παραπέμποι
Πάντας τοι γοερὲς καιρὲς, πολλὲς ἐνιαυτὲς,
Πήματα καὶ κραδίην Σὴν ὀυκ ὄφλεσι ταράττειν,
Ἠδὲ διδόιη ΣΟΙ Θεὸς ἄφθαρτος μὲν ἅπαντα,
Ὅσσα ΣΥ βέλῃ καὶ Σὸν φίλτατον ἦτορ ἀπαιτεῖ·
Λοιπὸν ὁμοφροσύνης δεσμὸν μεγάλως διασώσεις,

Ἔλλα-

Ἔλλαβεν ἣ φιλότης, ἐιν στήθεσιν ἐυαγέεσσιν,

Ἀρχὴν, ἐιν Γῇ Πατρίδι, μηκίστων ἐπὶ καιρῶν,

Βασκανίην τε κακὴν μέλλεις στερεῶς διαφέυγειν·

Καὶ, πρὸς ἀπειροκάκῳ θυμῷ ΣΟΥ, γνώριμόν ἐστιν,

Ὅττι παλαιὴν βέβλαφα μήποτε δὴ φιλότητα,

Σὺν σπουδῇ, καὶ τοιάυτην τήρησα βεβάιως,

Ἐιν χώραις ξενικαῖς, αἷς, ἐιν νεότητι, πέλεσκον,

Στῆθος ἐμοῦ ποιεῖσθαι πρόσφορον ἠδὲ τέλειον·

Πιστὸς ἐγώ τε μένω φίλος, ἄχρι βίοιο τελευτῆς,

Ἠμὲν ὑπουργικὸν ἦτορ ἐμοῦ ΣΟΙ πάντοτε δέιξω,

Ὀυκ ἐπέεσσιν ἀρέσκοις, αὐτὰρ πρήγμασι δεκτοῖς.



Zh 6165

X2374436

M C.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-176743-p0037-9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-176743-p0038-5

# MONIMENTVM
## AMORIS
OPTIMAE NVNC DESIDERATISSIMAE
## CONIVGI
# SVSANNAE IACOBAEAE
# NATAE MOEHLERIAE
D. XX. IAN. A. R. S. M. DCC. LXX.

REBVS HVMANIS EREPTAE

PIA MENTE

POSITVM

A

MOESTISSIMO VIDVO

## IOANNE HENRICO HELLBACHIO.

DRESDAE,

EX OFFICINA VIDVAE HARPETERIANAE

TYPOGRAPHICA.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-176743-p0039-4